τοῦται. εἶτα λέγει πρὸς αὐτήν, σὺ δὲ κυρία μου ἤθελες, ἵνα ὁ ἀνήρ σου ὠνήσεταί σοι παῖδα νέον, εὔσωμον, εὐόμματον, εὔκοσμον, οὐλόκομον, λευκόν, ὀφείλοντα εἰς τὸ βαλανεῖον ὑπηρετεῖν καὶ γυμνὴν βλέπειν σε, καὶ εἰς τὸν κοιτῶνα κιρνᾶν, καὶ τοὺς πόδας σου διατρίβειν, καὶ προσπαίζοντά σοι αἰσχῦναι τὸν φιλόσοφον. ὦ Εὐριπίδη, χρυσοῦν σου τὸ ἀψευδὲς στόμα, ὅτε ἔλεγες.

πολλαὶ μὲν ὀργαὶ κυμάτων θαλασσίων,
δειναὶ δὲ ποταμῶν, καὶ πυρὸς θερμόπνοια.
δεινὸν μὲν πενία, δεινὰ δ' ἄλλα μυρία
πλὴν οὐδὲν οὕτω ὡς γυνὴ ἐν ὑπερβολῇ κακῶν.

σὺ δὲ κυρία μου, φιλοσόφου γυνὴ οὖσα, ὑπὸ νεανίσκων δουλωθῆναι θέλεις καλῶν, ἵνα βινητιῶσα, ὕβριν τῷ ἀνδρί σου ἐπενέγκῃς. Ἡ δὲ ταῦτα ἀκούσασα φησί, πόθεν μοι κύριε τοῦτο τὸ κακὸν ἠγόρασας, ἀλλὰ καὶ στω-